ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσῃ διότι κύριος παντοκράτωρ ἐξαπ-
έσταλκέν με πρὸς σέ. [10] διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικράς; 10
καὶ χαροῦνται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ
Ζοροβαβελ. ἑπτὰ οὗτοι ὀφθαλμοὶ κυρίου εἰσὶν οἱ ἐπιβλέποντες ἐπὶ
πᾶσαν τὴν γῆν. [11] καὶ ἀπεκρίθην καὶ εἶπα πρὸς αὐτόν Τί αἱ δύο 11
ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων; [12] καὶ 12
ἐπηρώτησα ἐκ δευτέρου καὶ εἶπα πρὸς αὐτόν Τί οἱ δύο κλάδοι
τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶν τῶν δύο μυξωτήρων τῶν χρυσῶν
τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς;
[13] καὶ εἶπεν πρός με Οὐκ οἶδας τί ἐστιν ταῦτα; καὶ εἶπα Οὐχί, 13
κύριε. [14] καὶ εἶπεν Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασιν 14
τῷ κυρίῳ πάσης τῆς γῆς.

[1] Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ 5
δρέπανον πετόμενον. [2] καὶ εἶπεν πρός με Τί σὺ βλέπεις; καὶ εἶπα 2
Ἐγὼ ὁρῶ δρέπανον πετόμενον μῆκος πήχεων εἴκοσι καὶ πλάτος
πήχεων δέκα. [3] καὶ εἶπεν πρός με Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ 3
πρόσωπον πάσης τῆς γῆς, διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως
θανάτου ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος ἐκ τούτου ἕως θανάτου
ἐκδικηθήσεται· [4] καὶ ἐξοίσω αὐτό, λέγει κύριος παντοκράτωρ, καὶ 4
εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ
ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει καὶ καταλύσει ἐν μέσῳ
τοῦ οἴκου αὐτοῦ καὶ συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ
τοὺς λίθους αὐτοῦ.

[5] Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπεν πρός με Ἀνά- 5
βλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἰδὲ τί τὸ ἐκπορευόμενον τοῦτο.
[6] καὶ εἶπα Τί ἐστιν; καὶ εἶπεν Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. 6
καὶ εἶπεν Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. [7] καὶ ἰδοὺ τάλαντον 7
μολίβου ἐξαιρόμενον, καὶ ἰδοὺ μία γυνὴ ἐκάθητο ἐν μέσῳ τοῦ μέ-
τρου. [8] καὶ εἶπεν Αὕτη ἐστὶν ἡ ἀνομία· καὶ ἔρριψεν αὐτὴν ἐν μέσῳ 8
τοῦ μέτρου καὶ ἔρριψεν τὸν λίθον τοῦ μολίβου εἰς τὸ στόμα αὐτῆς.
[9] καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ δύο γυναῖκες 9

9 επιτελουσιν A† | εξαπεστειλεν A† || 10 χαρουνται BS*W†] χαρησονται rel.: cf. 10 7 et Thack. p. 290 | κυριου εισιν] tr. A†, κυρ. > B || 11 της λυχν. και εξ ευωνυμων] υμων S*†: transiluit ab (δεξι)ων ad (ευ)ων(υμων) | εξ ευωνυμων] pr. αι *L*†; + αυτης B*L* (in B sub ※; asteriscus hoc loco intra textum in linea ipsa exstat, asterisci 12 6 13 1.8 super lineam uel in marg. adpicti sunt) || 13 προς με] + λεγων $S^c$*C*† = 𝔐 || 14 παρεστηκ.] pr. οι $S^c$*L* | τω > BS†

5 2 ειπεν] + κυριος S† | εγω ορω] tr. A†, εγω > V† | μηκος AQW] -κους BS*LC* | πλατος AQW*L*p] -τους BS*L*p*C* || 3 προσωπου AQ | εως θανατου ult. > B† || 4 εισελευσομαι A† || 5 τι $S^c$V*L* Sy†] > rel.: ante το || 6 αυτων] -του S*† || 7 μια γυνη BSW] tr. AQ*LC* | μετρου] ταρταρου A*, ταλαντου $A^c$†